των δυνατὸς ἐγένου κρατῆσαι παθῶν, πῶς οὐχὶ πολλῷ μᾶλλον καὶ τὸ στενάζειν ἐλάσεις ἀπὸ σοῦ, πρᾶγμα οὕτως εὐτελὲς καὶ μηδὲν κέρδος δυνάμενον παρασχεῖν; Ἄλλως τε δὲ ὁ στενάζων, εἰ μὲν ἐφ' ᾧ τὴν δίκην λαβεῖν σπουδάζων, οὐκ ἔλαβεν, οὗτος τῇ γε αὐτοῦ ῥύμῃ καὶ κρίσει καὶ τῷ τῆς ὁρμῆς ἀνταπέδωκεν ἀκρατεῖ, εἰ θέμις δὲ εἰπεῖν, καὶ βαρύτερον· ὅς γε καὶ συμφορὰν ἡγεῖται τοῦ ἀντιλυπῆσαι τὸν λελυπηκότα ἐκπεσεῖν· εἰ δὲ στένει μέν, οὐ βούλεται δ' ἄμυναν λαβεῖν, ἐν ἀνδρείῳ φρονήματι γυναικῶν ὀλιγωρίας ὑπέρχεται σκηνήν· ὥστε νῆψαι δεῖ μόνον καὶ εἰς ἑαυτὸν ἐπιστραφῆναι, καὶ ἡ σκηνὴ διαλέλυται. Καὶ τὸ σοφὸν ἄρα καὶ τὸ ῥᾴδιον, εἰ βούλει δέ, καὶ τὸ λυσιτελοῦν καὶ σωτήριον ἡ τοῦ Ἀδελφοθέου βρύει παραίνεσις.

ΡΟΖ. (ΒΜ. ροη.)

Τί ἐστι «μοιχοὶ καὶ μοιχαλίδες»;

Τὴν πρὸς τὰ πάθη τῶν ἁμαρτημάτων 1) ῥοπὴν ὁ Ἀπόστολος 2) εἰς δύο τέμνει διαφοράς· καὶ γὰρ μοιχός ἐστιν ὁ μὴ μόνον ἑαυτὸν διαζεύξας τῆς θείας στοργῆς καὶ συναφείας, ἀλλὰ καὶ ὁ τὴν ἁρμοσθεῖσαν Χριστῷ τῷ ἀληθινῷ νυμφίῳ ψυχὴν ἐκεῖθεν ἀποσπάσαι σπουδὴν συνεισαγαγών, καὶ τῇ πρὸς ἑαυτὸν συναφείᾳ μοιχαλίδος αὐτὴν ἐγκλήματι περιβαλών· τὸ γὰρ ἀπὸ Θεοῦ ἀποστάσιον μοιχόν τε ποιεῖ τὸν ἀποστήσαντα καὶ μοιχαλίδα τὴν ἐπακολουθήσασαν αὐτοῦ ταῖς ἀπάταις ψυχήν. Μοιχαλὶς δ' ἂν εἴη κυρίως, ἥτις διεζεύχθη μὲν τῶν θείων ἔργων καὶ προσταγμάτων, καὶ πρὸς τὰς κοσμικὰς ἀπέκλινεν ἡδονάς, εἴτε τινὸς αὐτὴν ἐξαπατῶντος, εἴτε καὶ οἴκοθεν οἰστρηλατουμένη 3)· συναρμοσθεῖσα γὰρ αὕτη διὰ τοῦ βαπτίσματος τῷ Χριστῷ, καὶ τὰς νυμφικὰς καὶ ἀειπαρθένους καὶ ἀμιάντους ἐνυβρίσασα παστάδας, εἰκότως ἡ τοιαύτη ψυχὴ μοιχαλίδος ὑποδυομένη πρᾶξιν, καὶ κλῆσίν ἐστι τῇ πράξει ἐναρμοζομένην ἀναδέχεσθαι 4). Πολύτροπον δὲ καὶ τὸ τοῦ μοιχοῦ καὶ τὸ τῆς μοιχαλίδος· ἄν τε γὰρ ἔρωτα χρημάτων προτιμήσῃ Χριστοῦ, καὶ παρακαλεῖν ἄλλους εἰς τὴν ὁμοίαν πρᾶξιν ἐπιχειρῇ 5), μοιχός ἐστι καὶ μοιχαλὶς ἡ πειθομένη· ἄν τε δόξαν τὴν ἐν τῷ βίῳ, ἄν τε ῥεούσας ἄλλας ἡδονάς, ἄν τέ τινος ἄλλης χρείας ἢ τέρψεως, καταγοητευούσης τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ ὑποταττούσης τῷ φρονήματι τῆς σαρκός, μοιχαλίς ἐστιν ἡ τοιαύτη ἀθλία ψυχή, καὶ τῶν μοιχαλίδων, αἷς ἐνέχονται 6), χρεωστεῖ παρασχεῖν τὰς ποινάς. Πολλαὶ μὲν οὖν εἰσι μοιχαλίδες, καὶ ὀλίγον ἐλάττους μοιχοί· πράττειν μὲν γὰρ ἃ μὴ δεῖ πολλοῖς ἐστι δι' ἀπροσεξίαν ἑλέσθαι, ἑτέρους δὲ εἰς τὴν αὐτὴν ἀνερεθίζειν πρᾶξιν, καὶ εἰς παράκλησιν τῆς ἐκθέσμου μιμήσεως ἄγειν, καὶ παράδειγμα τοῖς ἄλλοις μηδαμῶς ἐπερυθριᾷν τὸ οἰκεῖον ἁμάρτημα ποιεῖσθαι, οὐκ ἔστι τῶν πολλῶν, ἀλλὰ τῶν εἰς ἄκραν πώρωσιν ἐληλακότων. Διὸ καὶ ὁ Ἀπόστολος «μοιχοί, φησί, καὶ μοιχαλίδες», τὸ τῶν μοιχῶν, ὡς ἐπὶ κακίᾳ τὸ πρωτεῖον ἐχόντων, προτάττει τῶν μοιχαλίδων· πᾶς γὰρ ἁμαρτίας διδάσκαλος τῶν εἰς ἑαυτοὺς τὴν ἁμαρτίαν περιγραφόντων διπλοῦν αὐτῷ τὸ ἔγκλημα ἐπιγράφεται, καὶ οἷς αὐτὸς ὄλωλε, καὶ οἷς ἑτέρους ἐπεχείρησε συναπολλῦναι.

ΡΟΗ'. (ΒΜ. ροθ'.)

Τί δηλοῖ τὸ τοῦ Ἀποστόλου «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι» 7);

§. α'. Τοῦτο δὴ τὸ ῥητὸν τοῖς ἀνωτέροις συνάπτεται· οἷον «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ὡς ἐλεύθεροι»· τουτέστι μὴ διὰ τὸν ἐπηρτημένον ὑμῖν ἀπὸ τῆς πολιτείας φόβον· οἱ γὰρ οὕτως ὑποτασσόμενοι τὴν τῶν δούλων τάξιν ὑπέρχονται, καὶ ὡς δοῦλοι τὴν ὑποταγὴν ἐπιδείκνυνται, φοβούμενοι 8) μὲν τὰς πολιτικὰς πληγάς, φοβούμενοι δὲ τὰς τῶν νόμων ἀπειλάς, καὶ τῷ δέει πρὸς τὴν ὑποταγὴν συνωθούμενοι. Ὁ δὲ διὰ τὸν Κύριον ὑποτασσόμενος, οἷον ὁ πειθαρχῶν ταῖς δεσποτικαῖς ἐντολαῖς, ἐλεύθερος μέν ἐστι παντὸς περιγείου φόβου, ἐλεύθερος δὲ πάσης αἰτίας, ἐλεύθερος δὲ ὑποψίας ἐπισειούσης ποινάς, τῷ πόθῳ δὲ τῷ δεσποτικῷ καὶ τῇ συντηρήσει τῶν ἐντολῶν ἐξευγενίζων ἑαυτοῦ τὴν ψυχήν, καὶ οὕτω τῇ ἀνθρωπίνῃ ἐξουσίᾳ φέρων ἑκούσιον τὴν ὑποταγήν. Ἄλλως τε δὲ ἐπείπερ ἅπαξ ἐξαγορασθέντας ἡμᾶς τῷ τιμίῳ αἵματι αὐτοῦ τῆς τοῦ διαβόλου 9) τυραννίδος ἐλευθέρους ἀπέφηνεν ὁ Χριστός, ἵνα μή τις λέγῃ, εἰ γεγόναμεν ἐλεύθεροι, πῶς πάλιν ὑποτάττεις τοῖς ἐγκοσμίοις ἄρχουσιν ἡμᾶς; ὡς ἐ-

1) Ἴσ. γρ. ἁμαρτανόντων. – 2) Ἰακώβ δ, 4. – 3) Οἰστρηλατουμένης ΒΜ. – 4) Οὕτω καὶ τὸ ΒΜ. ἀλλ' ἴσ. γρ. ἀ ν α δ έ χ ε τ α ι, καὶ τὸ ἐ σ τ ὶ τρεπτέον εἰς τὸ ἔ τ ι, ἢ εἰς τὴν ἐπί. – 5) Παραεπιχειρῇ ΒΜ. – 6) Ἐλέγχονται ΒΜ. – 7) Α' Πέτρ. 6, 13. – 8) Τὰ «φοβούμενοι μὲν–πληγὰς» λείπουσιν ἐν ΒΜ. – 9) Τῶν διαβόλων ΒΜ.

λεύθεροι λέγω, φησίν, ὑποτάγητε, τουτέστιν ἑκόντες, ἀπὸ γνώμης, ἐκ προαιρέσεως· ὥσπερ γὰρ δούλων, τὸ ἀκούσιον καὶ κατηναγκασμένον καὶ ἀπροαίρετον, οὕτως ἐλευθέρων, τὸ ἑκούσιον καὶ χωρὶς ἀνάγκης καὶ αὐτοπροαίρετον. Ὅταν οὖν ἑκόντες ὑποτασσώμεθα, τοῖς δεσποτικοῖς νόμοις πειθόμενοι, τὴν ἐλευθερίαν μᾶλλον κρατύνομεν, καὶ ἀξίους ἡμᾶς τῆς δωρεᾶς ταύτης παριστῶμεν [καὶ ἐπιδεικνύμεθα· οἷς γὰρ τὸν δεσπότην τιμῶμεν] 1), τοῖς αὐτοῦ νόμοις ἀγόμενοι, περιχαρῶς τὸ δῶρον ὁμολογοῦμεν ὑποδέξασθαι, καὶ τὴν φιλοτιμίαν θαυμάζειν, δι' ὧν τὸ σέβας τῷ δεδωκότι προσάγομεν ἀπροφάσιστον. Πῶς δὲ καὶ ἄλλως οὐ σωτήριον, ἑκουσιότητι γνώμης τὴν ἐν τῇ πολιτείᾳ τάξιν διαφυλάττειν, καὶ τὸ κατ' ἀξίαν νέμειν τοῖς ὑπερέχουσι; καὶ γὰρ ὡς ἀληθῶς οἱ τοιοῦτοι ἐλευθέρας τε φέρουσιν ἐκ πάσης ἀταξίας καὶ στάσεως τὰς ψυχάς, καὶ τῆς θεόθεν δεδομένης ἡμῖν ἐλευθερίας ἄξιοι πᾶσιν ἐπιδείκνυνται. Οἱ δὲ γνώμῃ μὲν μοχθηρᾷ, τόλμῃ δὲ πονηρᾷ καὶ ταραχαῖς χαιρούσῃ τὴν ἐλευθερίαν ἐπιφημίζοντες, καὶ διὰ τοῦτο στάσει τὴν εὐνομίαν λύοντες, οὗτοι προκάλυμμα πονηρίας καὶ αὐθαδείας τὴν ἐλευθερίαν προβαλλόμενοι, δοῦλοι μέν εἰσιν ἀλογίστων παθῶν, δοῦλοι δὲ ταραχῆς καὶ θορύβων, καὶ τῆς ἐλευθερίας κατήγοροι, καὶ διὰ τοῦτο ταύτης ἀνάξιοι.

§. β'. Βούλεται δὲ ἡμᾶς διὰ ταύτης τῆς παραινέσεως ὁ Ἀπόστολος ἐν πᾶσι τοῖς κατὰ τὸν βίον συναλλάγμασι καὶ τοῖς ἄλλοις πολιτεύμασιν, ὅσα μὴ τὴν θείαν ἀγάπην καὶ πίστιν ἐπιλυμαίνεται, πειθηνίους εἶναι τοῖς νόμοις παρασκευάζειν, καὶ οἷς ἡ τῶν νόμων κατεπιστεύθη κυριότης καὶ πρόνοια, εὐγνώμονάς τε εἶναι, καὶ μὴ παρορᾷν 2) τοὺς ὑπερέχοντας, κἂν εἰς τοὐναντίον αὐτοῖς τῆς ἀληθείας τὸ σέβας ἀποδιακέκριται. Διὰ τί; ἓν μέν, ἵνα καὶ αὐτοὶ πρὸς τὴν εὐσέβειαν οἱ διαφωνοῦντες, ὁρῶντες ἡμῶν τὴν εὐγνωμοσύνην καὶ τὸ τῶν τρόπων εὐγενὲς καὶ πειθήνιον, ἅμα μὲν ἡμῶν ἐπερυθριῶσι τῇ πολιτείᾳ καὶ τοῖς ἤθεσιν, ἅμα δὲ τὸ μὴ πείθεσθαι αὐτοῖς κατὰ τὸ σέβας μὴ αὐθαδείας ἔργον νομίζωσι μηδὲ γνώμης ἀτεράμονος ἐπιτήδευμα, ἀλλ' ἔρωτος ὑπὲρ λόγον θείου καὶ θείας δυνάμεως καὶ ἐνεργείας· ἅμα δὲ ὡς ἂν δυνηθεῖεν διὰ τῆς ἡμέρου καὶ ἐπιεικοῦς ἡμῶν πολιτείας, εἴπερ ἄρα βουληθεῖεν, ἀναβλέψαι πρὸς τὸ τοῦ σεβάσματος ἡμῶν ἄφραστον κάλλος, καὶ τῷ ἐκεῖθεν ἔρωτι πτερωθέντες, βδελύξωνται μὲν τὸν δαιμονιώδη καὶ εἰδωλικὸν οἶστρον, τὴν συνάφειαν δὲ καὶ τὸν πόθον ἀνταλλάξωνται τῆς νύμφης Χριστοῦ Ἐκκλησίας· ἀλλ' αἰτία μὲν αὕτη πρώτη τῆς ἀποστολικῆς νουθεσίας.

§. γ'. Εἰ βούλει δὲ καὶ δευτέραν ἵνα, διώκοντες καὶ ἐλαύνοντες καὶ τιμωρούμενοι τοὺς πιστοὺς οἱ τὰ Ἑλλήνων τιμῶντες, μὴ εἰς ἄλλας τινὰς αἰτίας τὸν διωγμὸν ἔχωσιν ἀναφέρειν, μηδ' ὡς στασιώδεις καὶ ταραχοποιοὺς ὑπάγωσι δίκαις, ἀλλὰ δι' αὐτὴν τὴν εὐσέβειαν καὶ τὸ μὴ ἀνέχεσθαι τὸ θεῖον σέβας εἰς τὴν ὕλην καὶ τὰ κτίσματα κατάγειν. Τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν, εἰπών· «ἵνα, ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς»· καὶ πάλιν «οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν» 3). Στάσιν τις τῶν ἑλληνιστῶν ἢ καὶ Ἰουδαῖος ἐπικαλεῖ σοι; τὸ εἰρηνικὸν ἐπίδειξον· ἀνήκοον διαβάλλει καὶ ἀπειθῆ; διὰ τῆς ὑποταγῆς ἐπιστόμισον· ἀλαζόνα καὶ αὐθάδη; τῷ ταπεινῷ καὶ ἡμέρῳ τοῦ φρονήματος τὴν γλωσσαλγίαν διέλεγξον· τάξιν πολιτικὴν διαλύοντα; διὰ τοῦ μηδὲν ἐν τούτοις ἀγνωμονεῖν τὴν συκοφαντίαν στηλίτευσον. Οὕτως ἄφρων ἀνὴρ δύναται φιμοῦσθαι, οὕτως Θεοῦ δοξάζεται δοῦλος, οὕτως νικᾷ τὸν κόσμον, κἂν μαστίζεται, κἂν στρεβλοῦται, κἂν ἀνασκολοπίζεται 4), ὁ τὸ κατὰ τῆς ἁμαρτίας τρόπαιον ἀνύβριστον συνδιασώζων ἑαυτῷ. Ὁ κατὰ ταῦτα πολιτευόμενος τὰ προστάγματα, ἐλεύθερα φέρει καθαρῶς καὶ τὰ ἔργα, καὶ τοὺς λόγους, καὶ πρό γε τούτων αὐτὴν τὴν ψυχήν.

ΡΟΘ'.

Τῷ αὐτῷ περὶ θεολογίας ζητήματα 5)

§. α'. Ἄρρητον μὲν τὸ θεῖον, ὥσπερ καὶ ἄληπτον, διότι μηδ' ἔστι μηδ' ἐπινοίαις ψιλαῖς προϋφεστηκότα τινὰ λαβεῖν, δι' ὧν ὁ λόγος προϊὼν τὴν γνῶσιν καὶ κατάληψιν τοῦ μακαρίου ἐκείνου καὶ ἀφθέγκτου παράσχοι θεάματος· ἄρρητον δὲ καὶ ἄληπτον ὄν, ἀπὸ τῶν ὑστέρων ὅμως, ὥσπερ 6) ἀπό τινος τῆς ἐκεῖθεν, εἰ καὶ ἀμυδρᾶς, ἀπαυγῆς, ἐν αὐτοῖς κατιούσης, καὶ δι' αὐτῶν ἡμῖν τὴν διάνοιαν ἐνατενίζειν πρὸς τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευαζούσης, δυνατόν ἐστί τινας θεοπρεπεῖς φαντασίας εἰσδέξασθαι. §α'. Καθ' ὃν γὰρ τρόπον οἱ ζόφῳ παχεῖ περικεχυμένῳ ἐγκαθήμενοι, βραχεῖάν τινα τῶν ἡλιακῶν ἀκτίνων καὶ ἀμυδρὰν λαμπηδόνα παραδέχονται, οὕτως οἱ τῷ

1) Τὰ ἀπὸ τοῦ «καὶ ἐπιδεικνύμεθα–τιμῶμεν» ἐκπεπτωκότα ἐκ τοῦ ΑΡ. ἀνεπληρώθησαν ἐκ τοῦ ΒΜ. – 2) Ὑπερορᾷν ΒΜ. – 3) Α. Πέτρ. 6, 12–15. – 4) Περὶ τῆς τοιαύτης φράσεως βλέπ. καὶ Ζήτημα ΞϚ. σελ. 119. – 5) Παρ' Ε. κεῖται πρὸ τῶν Ἀμφιλοχίων ἐκδεδομένον τοῦτο, ὡς ἴδιον τοῦ Φωτίου πονημάτιον σελ. 3. – 6) Ἐν Ε. λείπει τὸ ὥσπερ.